§. ψπβʹ. Καὶ τὸ ἐξ Αἰτιολογικῆς δὲ τῆς μείζονος (§. ψοϛʹ.) καὶ κατὰ τοὺς ἀνωτέρω τρόπους (§. ψοθʹ. κξʹ.) σφάλλεσθαι δυνάμενον, ἐλεγχθείη ἂν ἰδίᾳ ποτὲ καὶ παρὰ τὸ μὴ αἴτιον. Τοιοῦτο δὴ τὸ τοῦ Ζήνωνος (1) πρὸς τὸν εἰπόντα „Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς.

„Εἴτε γὰρ ἀπέδειξε (φησὶν), ὁ πρότερον εἰπὼν, οὐκ ἀκουστέον „τοῦ δευτέρου λέγοντος· πέρας γὰρ ἔχει τὸ ζητούμενον.

„Εἴτ᾽ οὐκ ἀπέδειξεν· ὅμοιον γὰρ ὡς εἰ μηδὲ ὑπήκουσε κληθεὶς, „ἢ ὑπακούσας ἐτερέτισεν. Ἤτοι δὲ ἀπέδειξεν, ἢ οὐκ ἀπέδειξεν.

Οὐκ ἀκουστέον ἄρα τοῦ δευτέρου λέγοντος.

Οὐκ ὀρθῶς οὖν ὁ Ζήνων ἐν τούτοις αἰτιολογεῖ, τὸ δεῖν ἀκοῦσαι τοῦ δευτέρου λέγοντος, καθ᾽ ὅτι ὁ πρώτως εἰπὼν, ἤτοι ἀπέδειξεν, ἢ οὐκ ἀπέδειξεν· Ἀλλ᾽ ὅτι ἔδοξεν. εἰπὼν, ἤτοι ἀποδεδειχέναι, ἢ μή. Ταύτητοι καὶ τὸ δόξαν τοῖς τοῦ δευτέρου λόγοις προσεπιβασανιστέον, ἵνα μήτις τὸ δοκήσει ἀληθὲς, ὡς ἤδη καὶ τοιοῦτον πράγματι ὂν, λάθοι προπετέστερον προσκυρώσας.

## Περὶ Συλλογισμῶν ἄλλων Συνθέτων,

*τοῖς ἤδη καταλεχθεῖσι προσεοικότων.*

### §. ψπγʹ.

Εἰσί τινες καὶ ἄλλοι τῶν Συνθέτων Συλλογισμῶν, ὧν οὐκ ἄδηλος ἡ πρὸς ἕνα τινὰ τῶν καταλεχθέντων ὁμοιότης. Τοιοῦτοι δέ·

Α. Ὁ ἀπὸ μείζονος Συγκριτικῆς (§. υκηʹ.). Ἐν ᾧ ἀνυποθέτως αὐτῆς προτεθείσης, καθάπερ ἐν τοῖς ἐξ ἀνομοιολόγων Ὑποθετικοῖς (§. ψξθʹ. κξʹ.), προβαίνει τὸ συναγόμενον. Οἷον τεθέντος ὅτι ὁ μὲν ὀξυωπῶν μᾶλλον ὁρᾷ, ὁ δὲ καμμύων ἧττον, τετραχῶς εἰσβάλλειν ἔστι. Α. Καταφατικῶς ἀπὸ τοῦ ἧττον μετέχοντος ἐπὶ τὸ μᾶλλον. οἷον,

Ὁ καμμύων ὁράσει τοῦτο διακρίνει. Ἄρα καὶ ὁ ὀξυωπῶν.

Β. Ἀποφατικῶς ἀνάπαλιν· οἷον,

Ὁ ὀξυωπῶν οὐ διακρίνει, Οὐδ᾽ ἄρα ὁ καμμύων.

Γ. Κα-

(1) Παρὰ Πλουτ. περὶ Στωϊκ. Ἐναντιωμ.



Γ. Καταφατικῶς ἀπὸ τοῦ μᾶλλον, ἐπὶ τὸ ἧττον· οἷον,

Ὁ ὀξυωπῶν προστηρεῖ. Ἄρα καὶ ὁ καμμύων.

Δ Ἀποφατικῶς ἀνάπαλιν· οἷον,

Ὁ καμμύων οὐ προστηρεῖ· οὐδ᾽ ἄρα ὁ ὀξυωπῶν.

§. ψπδʹ. Ἀλλ᾽ ἔστι δὴ καὶ εἶδος ἕτερον Συγκριτικοῦ Συλλογισμοῦ, ἐν ᾧ συγκριτικαὶ προτάσεις αἵτε κείμεναι ἀμφότεραι εἰσὶ, καὶ τὸ συναγόμενον. οἷον

Ὁ Αἴας ἀνδρειότερος ἢ Ὀδυσσεύς.

Ὁ Ἀχιλλεὺς ἀνδρειότερος ἢ Αἴας.

Ὁ ἄρα Ἀχιλλεὺς ἀνδρειότερος ἢ Ὀδυσσεύς.

Ὃν αὖτις καὶ Σωριτικῶς (§. ψνβʹ.) διατάξειε.

§. ψπεʹ. Βʹ. Ὁ ἀπὸ μείζονος Ἐξομοιωτικῆς (§. υκαʹ.), ὃς ἰσοδυνάμος ἐστὶ τῷ ἐξ ὁμοιολόγων (§. ψοβʹ.) ὑποθετικῷ. οἷον,

Ἔστι τὰ σιτία πρὸς τὸ σῶμα, ὥσπερ πρὸς τὴν ψυχὴν αἱ τῶν λόγων ὑποθῆκαι.

Ἀλλ᾽ ὑπ᾽ ἐνδείας τῆς ἐκείνων τὸ σῶμα ἐξασθενεῖ.

Καὶ ἡ ψυχὴ ἄρα ὑπ᾽ ἐνδείας τῆς τούτων.

Ἀναχθείη δ᾽ ἂν οὗτος ἐπὶ τὸ κατ᾽ ἀναλογίαν συνιστάμενον παράδειγμα (§. φοϛʹ.).

§. ψπϛʹ. Γ. Καὶ ὁ ἐξ Ἀναφορικῆς (§. υκʹ.) τῆς μείζονος, ὃς καὶ αὐτὸς τῷ ὑποθετικῷ (§. ψξηʹ.) ἐστὶ παραπλήσιος. Τοῦ γὰρ πρὸς ὃ, ὡς ἡγουμένου τῇ θέσει, καὶ τὸ πρὸς αὐτὸ ἕπεται. Καὶ τῇ ἀναιρέσει τῇ τούτου, κἀκεῖνο συναναιρεῖται. οἷον,

Ὅπου ὁ θησαυρὸς, ἐκεῖ καὶ ἡ καρδία.

Τῶν δὲ φιλοκτημόνων ὁ Θησαυρὸς ἐπὶ τῆς γῆς.

Οὐκοῦν καὶ ἡ καρδία. Ἢ γοῦν,

Οὐκ ἐν οὐρανῷ ἡ καρδία.

Οὐδὲ ὁ θησαυρὸς ἄρα.

§. ψπζʹ. Δ. Καὶ ὁ ἐξ Ἐναντιωματικῆς (§. υκβʹ.). οἷον

Πᾶς ἄνθρωπος κἂν εἰς ἀκρότητα γένηται παιδείας ἐληλακὼς, ἀπάτῃ ὅμως ὑπόκειται.

Ἀριστοτέλης δὲ καὶ εἰς ἀκρότητα παιδείας ἐλάσας, ὅμως ἄνθρωπος ἐστίν. Ἄρα κλ.

Ὃν ῥᾶστα αὖτις ἐπὶ τὸν δι᾽ ὅλου ὑποθετικὸν (§. ψξϛʹ.) μεταῤῥυθμίσειεν.



ΚΕΦ.